# Γ' ΛΥΚΕΙΟΥ

# ΘΕΩΡΗΤΙΚΗ ΚΑΤΕΥΘΥΝΣΗΣ
# ΑΡΧΑΙΑ

## ΕΚΦΩΝΗΣΕΙΣ

### Διδαγμένο Κείμενο

**Ἀριστοτέλους Ἠθικὰ Νικομάχεια Β1, 7-8. Β3, 1-2**

Οὕτω δὴ καὶ ἐπὶ τῶν ἀρετῶν ἔχει· πράττοντες γὰρ τὰ ἐν τοῖς συναλλάγμασι τοῖς πρὸς τοὺς ἀνθρώπους γινόμεθα οἳ μὲν δίκαιοι οἳ δὲ ἄδικοι, πράττοντες δὲ τὰ ἐν τοῖς δεινοῖς καὶ ἐθιζόμενοι φοβεῖσθαι ἢ θαρρεῖν οἳ μὲν ἀνδρεῖοι οἳ δὲ δειλοί. Ὁμοίως δὲ καὶ τὰ περὶ τὰς ἐπιθυμίας ἔχει καὶ περὶ τὰς ὀργάς· οἳ μὲν γὰρ σώφρονες καὶ πρᾶοι γίνονται, οἳ δ' ἀκόλαστοι καὶ ὀργίλοι, οἳ μὲν ἐκ τοῦ οὑτωσὶ ἐν αὐτοῖς ἀναστρέφεσθαι, οἳ δὲ ἐκ τοῦ οὑτωσί. Καὶ ἑνὶ δὴ λόγῳ ἐκ τῶν ὁμοίων ἐνεργειῶν αἱ ἕξεις γίνονται. Διὸ δεῖ τὰς ἐνεργείας ποιὰς ἀποδιδόναι· κατὰ γὰρ τὰς τούτων διαφορὰς ἀκολουθοῦσιν αἱ ἕξεις. Οὐ μικρὸν οὖν διαφέρει τὸ οὕτως ἢ οὕτως εὐθὺς ἐκ νέων ἐθίζεσθαι, ἀλλὰ πάμπολυ, μᾶλλον δὲ τὸ πᾶν.

Σημεῖον δὲ δεῖ ποιεῖσθαι τῶν ἕξεων τὴν ἐπιγινομένην ἡδονὴν ἢ λύπην τοῖς ἔργοις· ὁ μὲν γὰρ ἀπεχόμενος τῶν σωματικῶν ἡδονῶν καὶ αὐτῷ τούτῳ χαίρων σώφρων, ὁ δ' ἀχθόμενος ἀκόλαστος, καὶ ὁ μὲν ὑπομένων τὰ δεινὰ καὶ χαίρων ἢ μὴ λυπούμενός γε ἀνδρεῖος, ὁ δὲ λυπούμενος δειλός. Περὶ ἡδονὰς γὰρ καὶ λύπας ἐστὶν ἡ ἠθικὴ ἀρετή· διὰ μὲν γὰρ τὴν ἡδονὴν τὰ φαῦλα πράττομεν, διὰ δὲ τὴν λύπην τῶν καλῶν ἀπεχόμεθα. Διὸ δεῖ ἦχθαι πως εὐθὺς ἐκ νέων, ὡς ὁ Πλάτων φησίν, ὥστε χαίρειν τε καὶ λυπεῖσθαι οἷς δεῖ· ἡ γὰρ ὀρθὴ παιδεία αὕτη ἐστίν.

**Α.** Από το κείμενο που σας δίνεται, να αποδώσετε στη νέα ελληνική το απόσπασμα: «Ὁμοίως δὲ καὶ τὰ περὶ τὰς ἐπιθυμίας … ὁ δὲ λυπούμενος δειλός».

**Μονάδες 10**

**Β.** Να γράψετε τις απαντήσεις των παρακάτω ερωτήσεων:

**Β1.** «Καὶ ἑνὶ δὴ λόγῳ ἐκ τῶν ὁμοίων ἐνεργειῶν αἱ ἕξεις γίνονται»: Ποια είναι η νέα αριστοτελική έννοια που εισάγεται στο συγκεκριμένο χωρίο; Αφού τη συσχετίσετε με την ηθική πράξη και τις ψυχικές διαθέσεις, να δώσετε τον ορισμό της.

**Μονάδες 15**

**Β2.** Να σχολιαστεί η διαφοροποίηση που παρατηρείται στην έννοια της «ἡδονῆς» στο αριστοτελικό κείμενο.

**Μονάδες 15**

**Β3.** Ποια ήταν η συμβολή του Ευδόξου στη διαμόρφωση της προσωπικότητας του Αριστοτέλη κατά τα δύο πρώτα χρόνια της παραμονής του στην Ακαδημία;

**Μονάδες 10**

**Β4α.** **θαρρεῖν, ἀκόλαστοι, ὀργίλοι, ἀχθόμενος:** Να εντοπίσετε στο αρχαίο κείμενο τα αντώνυμα των παραπάνω λέξεων.

**Μονάδες 4**

**Β4β.** **απαλλαγή, σχήμα, επισήμανση, άχαρος, άξονας, προφήτης**: Για καθεμιά από τις λέξεις που σας δίνονται να γράψετε και μία ετυμολογικώς συγγενή από το αρχαίο κείμενο.

**Μονάδες 6**

φροντιστήρια Κ. Γιούμπα

## Αδίδακτο Κείμενο

### Ξενοφῶν, Ἀπομνημονεύματα 4, 2, 8-9

Εὐθύδημε, τῷ ὄντι, ὥσπερ ἐγὼ ἀκούω, πολλὰ γράμματα συνῆχας τῶν λεγομένων σοφῶν ἀνδρῶν γεγονέναι; Καὶ ὁ Εὐθύδημος, Νὴ τὸν Δί', ἔφη, ὦ Σώκρατες· καὶ ἔτι γε συνάγω, ἕως ἂν κτήσωμαι ὡς ἂν δύνωμαι πλεῖστα. Νὴ τὴν Ἥραν, ἔφη ὁ Σωκράτης, ἄγαμαί γέ σου, διότι οὐκ ἀργυρίου καὶ χρυσίου προείλου θησαυροὺς κεκτῆσθαι μᾶλλον ἢ σοφίας· δῆλον γὰρ ὅτι νομίζεις ἀργύριον καὶ χρυσίον οὐδὲν βελτίους ποιεῖν τοὺς ἀνθρώπους, τὰς δὲ τῶν σοφῶν ἀνδρῶν γνώμας ἀρετῇ πλουτίζειν τοὺς κεκτημένους. Καὶ ὁ Εὐθύδημος ἔχαιρεν ἀκούων ταῦτα, νομίζων δοκεῖν τῷ Σωκράτει ὀρθῶς μετιέναι τὴν σοφίαν.

*Λεξιλόγιο:*

μετέρχομαι = προσπαθώ να αποκτήσω, επιδιώκω

γράμματα = συγγράμματα

**Γ1.** Να αποδώσετε στη νέα ελληνική το απόσπασμα.

**Μονάδες 20**

**Γ2α.** Να γράψετε τους ζητούμενους τύπους για καθεμιά από τις παρακάτω λέξεις του κειμένου:

**προείλου**: το β΄ ενικό προστακτικής στο χρόνο και στη φωνή που βρίσκεται

**συνάγω:** το απαρέμφατο παρακειμένου της μέσης φωνής

**ἔφη:** το β΄ πληθυντικό υποτακτικής ενεστώτα

**ποιεῖν:** το α΄ ενικό οριστικής παρατατικού μέσης φωνής

**ἀκούων:** το α΄ ενικό ευκτικής αορίστου στη φωνή που βρίσκεται.

**Μονάδες 5**

**Γ2β**. Να γράψετε τους ζητούμενους τύπους για καθεμιά από τις παρακάτω λέξεις του κειμένου:

**σοφῶν:** τον ίδιο τύπο στο συγκριτικό βαθμό

**ἀνδρῶν:** την κλητική ενικού

**ταῦτα:** τη γενική πληθυντικού στο θηλυκό γένους

**πολλά:** την αιτιατική ενικού στο αρσενικό γένος και στον ίδιο βαθμό

**ἀκούων:** τη δοτική πληθυντικού στο θηλυκό γένος και στον ίδιο χρόνο

**Μονάδες 5**

**Γ3α. κεκτῆσθαι, βελτίους, νομίζων, τῷ Σωκράτει, ὀρθῶς**

Να αναγνωρίσετε συντακτικά τις παραπάνω λέξεις του κειμένου.

**Μονάδες 5**

**Γ3β. «νομίζεις ἀργύριον καὶ χρυσίον οὐδὲν βελτίους ποιεῖν τοὺς ἀνθρώπους»:** Να μεταφέρετε τον πλάγιο λόγο σε ευθύ.

**Μονάδες 2**

**Γ3γ. «καὶ ἔτι γε συνάγω, ἕως ἂν κτήσωμαι»**

Να αναγνωρίσετε το είδος του λανθάνοντα υποθετικού λόγου του αποσπάσματος.

**Μονάδες 3**

Φροντιστήρια Αξιώτη Κ. Τούμπα